τὰ ὀνόματα ἀκούσεσθε, ἄνδρας ὄντας ἀγαθοὺς περὶ τὸ
πλῆθος τὸ ὑμέτερον, ἐπὶ τῶν τριάκοντα ἀπέκτεινε, μη-
νυτὴς κατ᾽ ἐκείνων γενόμενος. ποιήσας δὲ ταῦτα ἐμὲ μὲν
ἰδίᾳ καὶ ἕκαστον τῶν προσηκόντων μεγάλα ἐζημίωσε,
τὴν δὲ πόλιν κοινῇ πᾶσαν τοιούτων ἀνδρῶν ἀποστερή-
3 σας οὐ μικρά, ὡς ἐγὼ νομίζω, ἔβλαψεν. ἐγὼ οὖν, ⟨ὦ⟩
ἄνδρες δικασταί, δίκαιον καὶ ὅσιον ἡγοῦμαι εἶναι καὶ
ἐμοὶ καὶ ὑμῖν ἅπασι τιμωρεῖσθαι καθ᾽ ὅσον ἕκαστος δύ-
ναται· καὶ ποιοῦσι ταῦτα νομίζω ἡμῖν καὶ παρὰ θεῶν
καὶ παρ᾽ ἀνθρώπων ἄμεινον ἂν γίγνεσθαι. δεῖ δ᾽ ὑμᾶς,
ὦ ἄνδρες Ἀθηναῖοι, ἐξ ἀρχῆς τῶν πραγμάτων ἁπάντων
4 ἀκοῦσαι, ἵν᾽ εἰδῆτε πρῶτον μὲν ᾧ τρόπῳ ὑμῖν ἡ δημο-
κρατία κατελύθη καὶ ὑφ᾽ ὅτου, ἔπειτα ᾧ τρόπῳ οἱ ἄν-
δρες ὑπ᾽ Ἀγοράτου ἀπέθανον, καὶ ὅ τι ἀποθνῄσκειν
μέλλοντες ἐπέσκηψαν· ἅπαντα γὰρ ταῦτα ἀκριβῶς ἂν
μαθόντες ἥδιον καὶ ὁσιώτερον Ἀγοράτου τουτουὶ κατα-
ψηφίζοισθε. ὅθεν οὖν ἡμεῖς τε ῥᾷστα διδάξομεν καὶ
ὑμεῖς μαθήσεσθε, ἐντεῦθεν ὑμῖν ἄρξομαι διηγεῖσθαι.
5 Ἐπειδὴ γὰρ αἱ νῆες αἱ ὑμέτεραι διεφθάρησαν καὶ τὰ
πράγματα ⟨τὰ⟩ ἐν τῇ πόλει ἀσθενέστερα ἐγεγένητο, οὐ
πολλῷ χρόνῳ ὕστερον αἵ τε νῆες αἱ Λακεδαιμονίων ἐπὶ
τὸν Πειραιᾶ ἀφικνοῦνται, καὶ ἅμα λόγοι πρὸς Λακεδαι-
6 μονίους περὶ τῆς εἰρήνης ἐγίγνοντο. ἐν δὲ τῷ χρόνῳ
τούτῳ οἱ βουλόμενοι νεώτερα πράγματα ἐν τῇ πόλει
γίγνεσθαι ἐπεβούλευον, νομίζοντες κάλλιστον καιρὸν εἰ-
ληφέναι καὶ μάλιστ᾽ ⟨ἂν⟩ ἐν τῷ τότε χρόνῳ τὰ πράγματα,
7 ὡς αὐτοὶ ἐβούλοντο, καταστήσασθαι. ἡγοῦντο δὲ οὐδὲν
ἄλλο σφίσιν ἐμποδὼν εἶναι ἢ τοὺς τοῦ δήμου προεστη-
κότας καὶ τοὺς στρατηγοῦντας καὶ ταξιαρχοῦντας. τού-
τους οὖν ἐβούλοντο ἁμῶς γέ πως ἐκποδὼν ποιήσασθαι,
ἵνα ῥᾳδίως ἃ βούλοιντο διαπράττοιντο. πρῶτον μὲν οὖν